UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Dîtîqa (nouum) ḥadāta (testamentum)

Parisiis, 1584

Cap. XV.

urn:nbn:de:hbz:466:1-39367

Visual Library

7 λέγων ἐν φωνῇ μεγάλῃ, φοβήθητε τὸν θεόν, καὶ δότε
αὐτῷ δόξαν, ὅτι ἦλθεν ἡ ὥρα τῆς κρίσεως αὐτοῦ· καὶ προ-
σκυνήσατε τῷ ποιήσαντι τὸν οὐρανόν, καὶ τὴν γῆν, καὶ τὴν
θάλασσαν, καὶ πηγὰς ὑδάτων. 8 καὶ ἄλλος ἄγγελος
δεύτερος ἠκολούθησε, λέγων, ἔπεσεν, ἔπεσε Βαβυλὼν ἡ μεγά-
λη· ἐκ τοῦ οἴνου τοῦ θυμοῦ τῆς πορνείας αὐτῆς πεπότικε πάν-
τα τὰ ἔθνη. 9 καὶ ἄλλος ἄγγελος τρίτος ἠκολούθησεν
αὐτοῖς, λέγων, ἐν φωνῇ μεγάλῃ, εἴ τις προσκυνεῖ τὸ θη-
ρίον, καὶ τὴν εἰκόνα αὐτοῦ, καὶ λαμβάνει χάραγμα ἐπὶ τοῦ
μετώπου αὐτοῦ, ἢ ἐπὶ τὴν χεῖρα αὐτοῦ· 10 καὶ αὐ-
τὸς πίεται ἐκ τοῦ οἴνου τοῦ θυμοῦ τοῦ θεοῦ, τοῦ κεκερασμένου
ἀκράτου ἐν τῷ ποτηρίῳ τῆς ὀργῆς αὐτοῦ, καὶ βασανισθή-
σεται ἐν πυρὶ καὶ θείῳ ἐνώπιον τῶν ἁγίων ἀγγέλων, καὶ
ἐνώπιον τοῦ ἀρνίου. 11 καὶ ὁ καπνὸς τοῦ βασανισμοῦ
αὐτῶν εἰς αἰῶνας αἰώνων ἀναβαίνει, καὶ οὐκ ἔχουσιν ἀνά-
παυσιν ἡμέρας καὶ νυκτὸς οἱ προσκυνοῦντες τὸ θηρίον καὶ
τὴν εἰκόνα αὐτοῦ, καὶ εἴ τις λαμβάνει τὸ χάραγμα τοῦ ὀνό-
ματος αὐτοῦ. 12 ὧδε ὑπομονὴ τῶν ἁγίων ἐστίν· ὧδε οἱ
τηροῦντες τὰς ἐντολὰς τοῦ θεοῦ, καὶ τὴν πίστιν τοῦ Ἰησοῦ.
13 καὶ ἤκουσα φωνῆς ἐκ τοῦ οὐρανοῦ, λεγούσης μοι,
γράψον, μακάριοι οἱ νεκροί, οἱ ἐν κυρίῳ ἀποθνήσκοντες
ἀπάρτι· λέγει ναὶ τὸ πνεῦμα, ἵνα ἀναπαύσωνται ἐκ τῶν κό-
πων αὐτῶν· τὰ δὲ ἔργα αὐτῶν ἀκολουθεῖ μετ' αὐτῶν.
14 καὶ εἶδον, καὶ ἰδοὺ νεφέλη λευκή, καὶ ἐπὶ τὴν νεφέ-
λην καθήμενος ὅμοιος υἱῷ ἀνθρώπου, ἔχων ἐπὶ τῆς κεφα-
λῆς αὐτοῦ στέφανον χρυσοῦν, καὶ ἐν τῇ χειρὶ αὐτοῦ δρέπα-
νον ὀξύ. 15 καὶ ἄλλος ἄγγελος ἐξῆλθεν ἐκ τοῦ ναοῦ,
κράζων ἐν φωνῇ μεγάλῃ τῷ καθημένῳ ἐπὶ τῆς νεφέλης·
πέμψον τὸ δρέπανόν σου, καὶ θέρισον, ὅτι ἦλθεν ἡ ὥρα τοῦ
θερίσαι· ὅτι ἐξηράνθη ὁ θερισμὸς τῆς γῆς. 16 καὶ
ἔβαλεν ὁ καθήμενος ἐπὶ τὴν νεφέλην τὸ δρέπανον αὐτοῦ
ἐπὶ τὴν γῆν, καὶ ἐθερίσθη ἡ γῆ. 17 καὶ ἄλλος ἄγγε-
λος ἐξῆλθεν ἐκ τοῦ ναοῦ τοῦ ἐν τῷ οὐρανῷ, ἔχων καὶ αὐτὸς
δρέπανον ὀξύ. 18 καὶ ἄλλος ἄγγελος ἐξῆλθεν ἐκ τοῦ
θυσιαστηρίου, ἔχων ἐξουσίαν ἐπὶ τοῦ πυρός, καὶ ἐφώνησε
κραυγῇ μεγάλῃ τῷ ἔχοντι τὸ δρέπανον τὸ ὀξύ, λέγων, πέμ-
ψον σου τὸ δρέπανον τὸ ὀξύ, καὶ τρύγησον τοὺς βότρυας τῆς
ἀμπέλου τῆς γῆς· ὅτι ἤκμασαν αἱ σταφυλαὶ αὐτῆς.
19 καὶ ἔβαλεν ὁ ἄγγελος τὸ δρέπανον αὐτοῦ εἰς τὴν
γῆν, καὶ ἐτρύγησε τὴν ἄμπελον τῆς γῆς, καὶ ἔβαλεν εἰς τὴν
ληνὸν τοῦ θυμοῦ τοῦ θεοῦ τὴν μεγάλην. 20 καὶ ἐπατήθη ἡ
ληνὸς ἔξωθεν τῆς πόλεως, καὶ ἐξῆλθεν αἷμα ἐκ τῆς ληνοῦ
ἄχρι τῶν χαλινῶν τῶν ἵππων ἀπὸ σταδίων χιλίων ἑξακοσίων.

Κεφ. ιε.

1 Καὶ εἶδον ἄλλο σημεῖον ἐν τῷ οὐρανῷ μέγα καὶ θαυ-
μαστόν, ἀγγέλους ἑπτά, ἔχοντας πληγὰς ἑπτὰ τὰς ἐσχάτας·
ὅτι ἐν αὐταῖς ἐτελέσθη ὁ θυμὸς τοῦ θεοῦ.

7 Dicens voce magna, timete Dominum, & date illi honorem, quia venit hora iudicij eius: & adorate eum qui fecit cælum & terram, & mare, & fontes aquarum.
8 Et alius Angelus secutus est dicens, Cecidit, cecidit Babylon illa magna: quæ à vino iræ fornicationis suæ potauit omnes gentes.
9 Et tertius Angelus secutus est illos, dicens voce magna, Siquis adorauerit bestiam & imaginem eius, & acceperit characterem in fronte sua, aut in manu sua:
10 Et hic bibet de vino iræ Dei, quod mistum est mero in calice iræ ipsius, & cruciabitur igne & sulphure in conspectu Angelorum sanctorum, & ante conspectum Agni.
11 Et fumus tormentorum eorum ascendet in secula seculorum: nec habent requiem die ac nocte, qui adorauerunt bestiam & imaginem eius, & siquis acceperit characterem nominis eius.
12 Hic patientia sanctorum est, qui custodiunt mandata Dei & fidem Iesu.
13 Et audiui vocem de cælo, dicentem mihi, Scribe, Beati mortui qui in Domino moriuntur. Amodò iam dicit Spiritus, vt requiescant à laboribus suis: opera enim illorum sequuntur illos.
14 Et vidi, & ecce nubem candidam: & super nubem sedentem similem Filio hominis, habentem in capite suo coronam auream, & in manu sua falcem acutam.
15 Et alius Angelus exiuit de templo, clamans voce magna ad sedentem super nubem, Mitte falcem tuam & mete, quia venit hora vt metatur, quoniam aruit messis terræ.
16 Et misit qui sedebat super nubem, falcem suam in terram: & demessuit eam.
17 Et alius Angelus exiuit de templo quod est in cælo, habens & ipse falcem acutam.
18 Et alius Angelus exiuit de altari, qui habebat potestatem supra ignem: & clamauit voce magna ad eum qui habebat falcem acutam dicens, Mitte falcem tuam acutam, & vindemia botros vineæ terræ: quoniam maturæ sunt vuæ eius.
19 Et misit Angelus falcem suam acutam in terram, & vindemiauit vineam terræ, & misit in lacum iræ Dei magnum:
20 Et calcatus est lacus extra ciuitatem, & exiuit sanguis de lacu vsque ad frænos equorum per stadia mille sexcenta.

CAP. XV.

1 Et vidi aliud signum in cælo magnum & mirabile: Angelos septem, habentes plagas septem nouissimas, quoniam in illis consummata est ira Dei.

2 Et vidi tanquam mare vitreum miſtum
igne, & eos qui vicerunt beſtiam & imaginem
eius, & numerum nominis eius ſtantes ſuper
mare vitreum, habentes citharas Dei:
3 Et cantantes canticum Moyſi ſerui Dei, &
canticum Agni, dicentes, Magna & mirabilia
ſunt opera tua Domine Deus omnipotens: iu-
ſtæ & veræ ſunt viæ tuæ Domine rex ſeculo-
rum. 4 Quis non timebit te Domine, &
magnificabit nomen tuum? quia ſolus pius es,
quoniam omnes gentes venient, & adorabunt
in conſpectu tuo, quoniam iudicia tua mani-
feſta ſunt. 5 Et poſt hæc vidi, & ecce aper-
tum eſt templum tabernaculi teſtimonij in cæ-
lo: 6 Et exierunt ſeptem Angeli, habentes
ſeptem plagas, de templo: veſtiti lapide mun-
do & candido, & præcincti circa pectora zonis
aureis, 7 Et vnum de quatuor animalibus,
dedit ſeptem Angelis ſeptem phialas aureas,
plenas iracundiæ Dei viuentis in ſecula ſecu-
lorum. 8 Et impletum eſt templum Dei fu-
mo à maieſtate Dei, & de virtute eius: & nemo
poterat introire in templum, donec conſum-
marentur ſeptem plagæ ſeptem Angelorum.

CAP. XVI.

1 Et audiui vocem magnam de templo, di-
centem ſeptem Angelis, Ite, & effundite ſe-
ptem phialas iræ Dei in terram. 2 Et abijt
primus Angelus, & effudit phialam ſuam in
terram, & factum eſt vulnus ſæuum & peſſi-
mum in homines qui habebant characterem
beſtiæ: & in eos qui adorauerunt beſtiam &
imaginem eius. 3 Et ſecundus Angelus effu-
dit phialam ſuam in mare, & factus eſt ſanguis
tanquam mortui, & omnis anima viuens, mor-
tua eſt in mari. 4 Et tertius effudit phialam
ſuam ſuper flumina & ſuper fontes aquarum:
& factus eſt ſanguis. 5 Et audiui Angelum
aquarum dicentem, Iuſtus es Domine, Qui
es, & Qui eras, Sanctus qui hoc iudicaſti:
6 Quia ſanguinem Sanctorum & Prophetarũ
effuderunt, & ſanguinem eis dediſti bibere:
digni enim ſunt. 7 Et audiui de altari dicentẽ,
Etiam Domine Deus omnipotens vera & iu-
ſta iudicia tua. 8 Et quartus Angelus effu-
dit phialam ſuam in ſolem, & datum eſt illi
æſtu affligere homines & igni: 9 Et æſtua-
uerunt homines æſtu magno, & blaſpema-
uerunt nomen Dei habentis poteſtatem ſuper
has plagas, neque egerunt pœnitentiam: vt
darent illi gloriam. 10 Et quintus Angelus
effudit phialam ſuam ſuper ſedem beſtiæ: &
factum eſt regnum eius tenebroſum, & com-
manducauerunt linguas ſuas præ dolore:
11 Et blaſphemauerunt Deum cæli præ dolo-
ribus & vulneribus ſuis, & non egerunt pœ-
nitentiam ex operibus ſuis.

2 καὶ εἶδον ὡς θάλασσαν ὑαλίνην μεμιγμένην πυρί· καὶ
τοὺς νικῶντας ἐκ τοῦ θηρίου, καὶ ἐκ τῆς εἰκόνος αὐτοῦ, καὶ ἐκ
τοῦ ἀριθμοῦ τοῦ ὀνόματος αὐτοῦ, ἑστῶτας ἐπὶ τὴν θάλασσαν
τὴν ὑαλίνην, ἔχοντας κιθάρας τοῦ θεοῦ. 3 καὶ ᾄδουσι
τὴν ᾠδὴν Μωϋσέως τοῦ δούλου τοῦ θεοῦ, καὶ τὴν ᾠδὴν τοῦ
ἀρνίου, λέγοντες, μεγάλα καὶ θαυμαστὰ τὰ ἔργα σου, κύριε ὁ
θεὸς ὁ παντοκράτωρ· δίκαιαι καὶ ἀληθιναὶ αἱ ὁδοί σου, ὁ βα-
σιλεὺς τῶν ἐθνῶν. 4 τίς οὐ μὴ φοβηθῇ σε, κύριε, καὶ
δοξάσῃ τὸ ὄνομά σου; ὅτι μόνος ἅγιος· ὅτι πάντα τὰ ἔθνη
ἥξουσι καὶ προσκυνήσουσιν ἐνώπιόν σου, ὅτι τὰ δικαιώμα-
τά σου ἐφανερώθησαν. 5 καὶ μετὰ ταῦτα εἶδον, καὶ ἰδοὺ,
ἠνοίγη ὁ ναὸς τῆς σκηνῆς τοῦ μαρτυρίου ἐν τῷ οὐρανῷ.
6 καὶ ἐξῆλθον οἱ ἑπτὰ ἄγγελοι οἱ ἔχοντες τὰς ἑπτὰ πλη-
γὰς, ἐκ τοῦ ναοῦ, οἳ ἦσαν ἐνδεδυμένοι λίνον καθαρὸν
καὶ λαμπρὸν, καὶ περιεζωσμένοι περὶ τὰ στήθη ζώνας
χρυσᾶς. 7 καὶ ἓν ἐκ τῶν τεσσάρων ζώων ἔδωκε τοῖς
ἑπτὰ ἀγγέλοις ἑπτὰ φιάλας χρυσᾶς, γεμούσας τοῦ θυμοῦ
τοῦ θεοῦ τοῦ ζῶντος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. 8 καὶ
ἐγεμίσθη ὁ ναὸς καπνοῦ ἐκ τῆς δόξης τοῦ θεοῦ, καὶ ἐκ τῆς
δυνάμεως αὐτοῦ· καὶ οὐδεὶς ἐδύνατο εἰσελθεῖν εἰς τὸν ναὸν,
ἄχρι τελεσθῶσιν αἱ ἑπτὰ πληγαὶ τῶν ἑπτὰ ἀγγέλων.

Κεφ. ιϛ.

1 Καὶ ἤκουσα φωνῆς μεγάλης ἐκ τοῦ ναοῦ, λεγούσης τοῖς
ἑπτὰ ἀγγέλοις, ὑπάγετε, ἐκχέατε τὰς φιάλας τοῦ θυμοῦ τοῦ
θεοῦ εἰς τὴν γῆν. 2 καὶ ἀπῆλθεν ὁ πρῶτος, καὶ ἐξέ-
χεε τὴν φιάλην αὐτοῦ ἐπὶ τὴν γῆν· καὶ ἐγένετο ἕλκος
κακὸν καὶ πονηρὸν εἰς τοὺς ἀνθρώπους τοὺς ἔχοντας τὸ χά-
ραγμα τοῦ θηρίου, καὶ τοὺς προσκυνοῦντας τῇ εἰκόνι αὐτοῦ.
3 καὶ ὁ δεύτερος ἄγγελος ἐξέχεε τὴν φιάλην αὐτοῦ
εἰς τὴν θάλασσαν· καὶ ἐγένετο αἷμα ὡς νεκροῦ, καὶ πᾶσα
ψυχὴ ζῶσα ἀπέθανεν ἐν τῇ θαλάσσῃ. 4 καὶ ὁ τρίτος
ἄγγελος ἐξέχεε τὴν φιάλην αὐτοῦ εἰς τοὺς ποταμοὺς καὶ
τὰς πηγὰς τῶν ὑδάτων· καὶ ἐγένετο αἷμα. 5 καὶ
ἤκουσα τοῦ ἀγγέλου τῶν ὑδάτων λέγοντος, δίκαιος, κύριε, εἶ,
ὁ ὢν, ὁ ὅσιος, ὅτι ταῦτα ἔκρινας. 6 ὅτι αἷμα ἁγίων καὶ
προφητῶν ἐξέχεαν, καὶ αἷμα αὐτοῖς ἔδωκας πιεῖν· ἄξιοι
εἰσί. 7 καὶ ἤκουσα ἐκ τοῦ θυσιαστηρίου λέγοντος, ναὶ
κύριε ὁ θεὸς ὁ παντοκράτωρ, ἀληθιναὶ καὶ δίκαιαι αἱ κρί-
σεις σου. 8 καὶ ὁ τέταρτος ἄγγελος ἐξέχεε τὴν φιά-
λην αὐτοῦ ἐπὶ τὸν ἥλιον· καὶ ἐδόθη αὐτῷ καυματίσαι τοὺς
ἀνθρώπους ἐν πυρί. 9 καὶ ἐκαυματίσθησαν οἱ ἄνθρω-
ποι καῦμα μέγα, καὶ ἐβλασφήμησαν τὸ ὄνομα
τοῦ θεοῦ τοῦ ἔχοντος τὴν ἐξουσίαν ἐπὶ τὰς πληγὰς ταύτας, καὶ
οὐ μετενόησαν δοῦναι αὐτῷ δόξαν. 10 καὶ ὁ πέμ-
πτος ἄγγελος ἐξέχεε τὴν φιάλην αὐτοῦ ἐπὶ τὸν θρόνον τοῦ
θηρίου· καὶ ἐγένετο ἡ βασιλεία αὐτοῦ ἐσκοτωμένη· καὶ
ἐμασσῶντο τὰς γλώσσας αὐτῶν ἐκ τοῦ πόνου. 11 καὶ
ἐβλασφήμησαν τὸν θεὸν τοῦ οὐρανοῦ ἐκ τῶν πόνων αὐτῶν καὶ
ἐκ τῶν ἑλκῶν αὐτῶν, καὶ οὐ μετενόησαν ἐκ τῶν ἔργων αὐτῶν.

NOVUM TESTAMENTUM A. IV.

UNIVERSITÄTS-BIBLIOTHEK PADERBORN